§ 712. Ἐφ' ᾧ δὲ περὶ τοῦ ἐπιχειρήματος κρίνειν, πρὸ πάντων ἀπαιτεῖται, τὸ περὶ οὗ ὁ λόγος καλῶς νοεῖν, εἶτα καὶ τοῖς ἑξῆς προσέχειν.

§ 713. Α΄. Ἐπὶ παντὸς συλλογισμοῦ τρεῖς μόνοι ὅροι εἰσὶν, τὸ ὑποκείμενον καὶ τὸ κατηγορούμενον τοῦ συμπεράσματος, τῷ τρίτῳ, δηλαδὴ τῷ μέσῳ ἐν ταῖς προκειμέναις παραβαλλόμενα· καὶ σφαλερὸς ἔσται τοίνυν περιέχων τέσσαρας.

§ 714. Β. Ἵνα δὴ μὴ τέτταρες ὦσιν οἱ ὅροι, ἅπαξ τοὐλάχιστον καθόλου χρὴ τὸ μέσον παραλαμβάνεσθαι. Ἐὰν γὰρ ἑκατέρωσε ἐν μέρει παραβάλληται, περὶ διαφερούσης ἰδέας νοεῖσθαι δυνήσεται· καὶ ἰδέα τὸ τηνικαῦτα μέση πρόκειται οὐδεμία.

Ἐὰν εἴπω, ζῇ μὲν ἄνθρωπος, ζῇ δὲ καὶ κύων, οὐ περὶ τῆς αὐτῆς ζωῆς ὁ λόγος.

Ἐὰν δὲ εἴπω, ζῇ μὲν ἄνθρωπος, οὐ ζῇ δὲ λίθος, ἐπειδὴ ζωὴ πᾶσα ἀπὸ τοῦ δευτέρου ἀπάγεται, καὶ περὶ τῆς κατὰ τὸ πρώτως δήπου ῥηθὲν ὁ λόγος.

§ 715. Γ΄. Ἡ τὸ μέσον καθόλου ἔχουσα, ἀεὶ τὴν τούτου ἑτέραν παρέχεται δήλωσιν, μετά τινος διορισμοῦ· ἡ γὰρ καθόλου τοῦ μέσου δήλωσις, περιεκτικὴ ἐστὶ τῶν κατὰ μέρος ἐπὶ τὸ αὐτὸ ὑποκείμενον ἐπανηκόντων· οἷον ἐπὶ τοῦ προ-

ΙΩΑΝΝΙΝΑ 2006

ληφθέντος· ὁ λίθος οὐ ζῇ. ἀντὶ τοῦ ζῶντος, δυνατόν τι θέσθαι διωρισμένον, ὃ μὴ ᾖ λίθος. Εἰδέγε ὁ λίθος εἴη τὸ μέσον, ἐπεὶ καθόλου τίθεται, ἀντὶ τοῦ λίθου, δυνατόν τι θέσθαι ὡρισμένον, ὃ ζωῆς ἀμοιρεῖ.

§ 716. Δ΄. Ἵνα δὲ ἤδη, δοθέντος ἐπιχειρήματος, τὸ εἶδος εἰ κατὰ τὸ δέον ἔχοι ἐγκρίνωμεν (708)· ἐξεταστέον πρῶτον, εἰ μὴ τέτταρες ἐν αὐτῷ οἱ ὅροι εἰσὶν (713)· τουτέστιν, ἐὰν ὅ,τε μείζων καὶ ὁ ἐλάσσων, ἰσοδυνάμως τε καὶ ταυτοσημάντως κείμενοι ὦσιν ἐν ταῖς προκειμέναις κἀν τῷ συμπεράσματι· καὶ εἰ περὶ τοῦ αὐτοῦ μέσου ἐπ᾽ ἀμφοτέρων ἐκείνων ὁ λόγος.

§ 717. Καὶ τούτων ἀνελλιπῶς ἐχόντων, σημειωτέον τὴν τοῦ μέσου δήλωσιν, ἐπὶ τῆς προκειμένης ἐν ᾗ καθόλου κεῖται ληφθείς· τὴν γὰρ δήλωσιν ταύτην ἀντὶ τοῦ μέσου, δέον παρεῖναι κἀπὶ τῆς ἑτέρας, ἤ, κατὰ τὴν ἐκδοχὴν ταύτην, καλῶς χωροῦντος τοῦ συμπεράσματος, ἐπὶ τὴν αὐτὴν ταύτην ἀμείβεται, ἢ γοῦν ἐφ᾽ ἑτέραν πρότασιν αὐτῇ ἰσοδύναμον.

Ἐὰν δὲ ἐπ᾽ ἀμφοῖν τῶν προκειμένων, καθόλου τὸ μέσον λαμβάνηται, οὐδὲν διοίσει ὁποτέρῳ τῶν τεθέντων κανόνων ἡ προσαρμοσις γένοιτο.

§ 718. Ῥᾷστα γὰρ ἀναφαίνεται, ὅτι τῇ τοιαύτῃ μεθόδῳ, ἡ παράθεσις ἐκφέρεται, ἡ μεταξὺ τοῦ ὑποκειμένου καὶ τοῦ κατηγορουμένου,

διὰ τῆς μεσιτευέσης ἰδέας ἐλεγχομένη· ὡς εἰμή-γε ἐπὶ τὸ συμπέρασμα περιπέσοιμεν, δῆλον, μὴ κατ' ὀρθὴν συνέπειαν τὸ συμπέρασμα ἐπιφέρεσθαι, κἂν ἄλλως ἀληθεῦον ᾖ.

§ 719. Παραδ. Α'. Εἴπερ οἱ Σῆρες, τὰ τῦ Μωάμεθ θρησκεύϛσιν, ἀσεβεῖς εἰσὶν.

Εἰσὶ δὲ. Θρησκεύϛσιν ἄρα.

Τέτταρες οἱ ὅροι· ϛ γὰρ περὶ τῆς αὐτῆς δυσσεβείας ὁ λόγος ἐπί τε τῆς μείζονος, κἀπὶ τῆς ἐλάσσονος. (713. 714).

§ 720. Παράδ. Β'. Ὅπερ ἐώνημαι, τῦτ' ἐσθίω. Ὠμὸν δ' ἐώνημαι. ὠμὸν ἄρα κρέας ἐσθίω.

Τέτταρες κἀνταῦθα. Ἡ ψευδὲς ἡ πρώτη. Προσθεῖναι γὰρ ἔδει, παρασκευασθὲν, ὡς ϛκ ἐν τῷ συμπεράσματι εἴληπται.

§ 721. Παραδ. Γ'. Οὐδὲν αἰσχρὸν ποθεῖν δέον.

Ἐϛι δέ τι κέρδος αἰσχρὸν.

Οὐκ ἄρα τι κέρδος ποθεῖν δεῖ.

Ἐπὶ τῆς μείζονος, σαφὲς ὡς ἀντὶ τῦ αἰσχρῦ, ἔϛιν ὃ μὴ δέον ποθεῖσθαι, εἶχεν ὑποτίθεσθαι. (715) Ἀιτικαθεϛῶτος δὲ, κατὰ τὴν ἐλάσσονα (717), παρέξαι τι κέρδος, ὅπερ ϛ δέον ποθεῖν. ὅπερ αὐτὸ ἦν τὸ συμπέρασμα.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

§ 622. Παράδ. Δ'. Τὸ σῶμα ἀδιαχώρητον.

Ἐκτεταμένον δέτι ἐκ ἔςιν ἀδιαχώρητον.

Ἐκτεταμένον ἄρα τι σῶμα ἐκ ἔςιν.

Ἡ ἐλάσσων δείκνυσιν, ὡς ἀντὶ τῦ ἀδιαχωρήτυ, τεθείη ἂν, ὅπερ ἐχ ὡρισμένως ἐκτεταμένον τι, (715) καὶ ἀντικαθεςῶτος κατὰ τὴν μείζονα (717), παρέξαι ὅτι τὸ σῶμα, ἐχ' ὡρισμένως τοιονδέ τι ἐκτεταμένον ἐςὶν. Ἥτις δὲ πρότασις τῷ τῦ ἐπιχειρήματος συμπίπτει συμπεράσματι.

§ 723. Παράδ. Ε'. Οἱ Τῦρκοι ἐκ εἰσὶ Χριςιανοί.

Οἱ δὲ Ἱσπανοὶ Τῦρκοι ἐκ εἰσὶν.

Οὐκ ἄρα κτ.

Ἐπὶ τῆς μείζονος, δυνατὸν ὁρῶ ἀντὶ τῶν Τέρκων κεῖσθαι, τινὰς Χριςιανὲς μὴ τυγχάνοντας. Γενομένης ὖν τῆς ἀντικαταςάσεως, πάρεςιν ἐπὶ τῆς ἐλάσσονος, ὡς οἱ Ἱσπανοὶ, ἐχὶ τινὲς εἰσὶν, οἱ Χριςιανοὶ ἐκ εἰσὶν. Ἔνθεντοι τὸ τῦ ἐπιχειρήματος συμπέρασμα ἐκ ἐυοδῦται.

§ 724. Ἔςι καὶ ἄλλα ἐπιχειρήματα, ἐφ' ὧν ὖ κατὰ προτάσεις ἐν μέρει, τοῖς ἐπὶ τῦ συμπεράσματος ὅροις τὸ μέσον παραβάλλεται. ἀλλ' ἡ μείζων παρὰ τὸ μέσον, καὶ ὅλον περι-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

ἔχυσα ἐςὶ τὸ συμπέρασμα. Ἐπὶ τύτων δὲ τὸ τῆς ἐπιφορᾶς ὀρθὸν ἐλεγχθήσεται, ἀντικαθιςαμένυ ἐπὶ τῆς ἐλάσσονος, ὡς μέσυ, τὸ ἐν τῇ μείζονι περὶ τῦ μέσυ λεγόμενον. Ἐὰν γὰρ ὕτως αὐτῷ τῷ συμπεράσματι ἀπαντήσωμεν, ἢ προτάσει ἰσοδυνάμῳ, ὀρθὸν ἔςαι τὸ συμπέρασμα· ἢν δὲ μὴ, ὐχί.

§ 625. ς. Εἰ μὴ Θεὸς ἐςὶν, εἰκῇ πάντα φέρεται. Ἀλλ᾽ ὐκ εἰκῇ. ψεῦδος ἄρα τὸ Θεὸν μὴ εἶναι.

Δῆλον ὡς ἐν τῇ ἐλάσσονι, τὸ μὴ εἰκῇ, τῷ Θεὸν εἶναι, εἰς ταυτὸ χωρεῖ, γενομένης ὖν τῆς ἀντικαταςάσεως, αὐτὸ παρέςαι λαβεῖν τὸ συμπέρασμα.

§ 726. Παράδ. Ζ΄. Ἤτοι ἥλιος ἵςαται, ἢ γῆ.

Ἥλιος δὲ. Οὐχ ἡ γῆ ἄρα.

Τίθεται ἐν τῇ μείζονι, τὴν τῆς γῆς κίνησιν, τῆς τῦ ἡλίυ ςάσεως εἶναι ἀχώριςον. Γενομένης ὖν τῆς ἀντικαταςάσεως κατὰ τὴν ἐλάττονα, δῆλον τὸ ὀρθὸν τῦ συμπεράσματος.

§ 727. Διάνοιαν σύνθετον εἶναι ἔφημεν (705), ἔνθα πλείονες αἱ μεσιτεύυσαι ἰδέαι ἐναπαιτῦνται, ἵνα ἡ τῶν τῦ συμπεράσματος ὅρων παράθεσις γένοιτο.

Ἔςων Α ϗ Δ αἱ ἰδέαι ἃς χρὴ παραβαλεῖν, ὐκῦν μὲν ἀμέσως, ἐπείπερ ὐχ οἷόντε, ἀλλ᾽

Ε.Υ.Δ. ΤΟΜ. Κ. τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

ὡς τὸ μὲν Α παραβάλλεσθαι τῷ Β, τὸ δὲ τῷ Γ, τὸ δὲ τῷ Δ ἐπαναφέρεσθαι. Ταύτῃ ϗ γὰρ τὸ Α ϗ Δ, ἀλλήλοις παραβληθήσεται, μεσιτευόντων δηλαδὴ τῶν Β ϗ Γ. ἔχει δὲ τοῦτὶ γίνεσθαι, ἤτοι συνεχεῖ τινὶ διανοητικῇ ἐφόδῳ, ἢ κατὰ ἐπιχειρήματα ἀπ' ἀλλήλων χωρὶς ἔχοντα.

§ 728. Παράδ. Η. Τὸ πρώτιςον τῶν αἰτίων ἁπάντων, οὐκ ἔχει αἰτίαν.

Τὸ μὴ ἔχον αἰτίαν, ἐν ἑαυτῷ ἔχει τὰ πρὸς ὕπαρξιν ἀπαιτούμενα.

Τὸ ἐν ἑαυτῷ ἔχον τὰ πρὸς ὕπαρξιν ἀπαιτούμενα, οὐκ ἂν ἔχοι μὴ εἶναι.

Τὸ ἄρα πρώτιςον τῶν αἰτίων ὑπάρχει, ὅτι οὐ δύναται μὴ εἶναι.

§ 729. Ῥᾷςα ἡ ἔφοδος εἰς ἁπλᾶ ἂν ἀναλύοιτο ἐπιχειρήματα, ὧν ἕκαςον, κατὰ τοὺς παραδοθέντας κανόνας (716. 717) ἀνακριθείη.

§ 730. Τὸ μὴ ἔχον αἰτίαν, ἐν ἑαυτῷ ἔχον ἐςὶ τὰ πρὸς τὸ ὑπάρχειν ἐναπαιτούμενα.

Ἡ πρώτιςη αἰτία, αἰτίαν οὐκ ἔχει.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Ἄρα ἡ πρωτίστη αἰτία ἐν ἑαυτῇ ἔχει κτ.

Τόδε δὲ τὸ συμπέρασμα ἀντὶ ἐλάσσονος ἔσται τοῦ δευτέρου ἐπιχειρήματος, οὗ μείζων ἡ ἐφεξῆς πρότασις ἐπὶ τῆς συνεχοῦς ἐφόδου. Παραπλησίως δ' ἂν καὶ ἄλλα συσταίη ἐπιχειρήματα, εἰ πλείονες τὸν ἀριθμὸν ἐτύγχανον αἱ ἰδέαι αἱ μεσιτεύουσαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΒΙΒΛΙΟΝ Β'.
# ΤΗΣ ΛΟΓΙΚΗΣ.

## ΜΕΡΟΣ Β.
## ΠΕΡΙ ΤΩΝ ΠΟΙΗΤΙΚΩΝ ΤΗΣ ΑΠΑΤΗΣ.

### ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.
### Περὶ τῶν αἰτίων τῆς ἀπάτης ἐν γένει.

§ 731. Ὅτι μὲν δὴ Νȣ̃ς ὁ πέρασιν ὡρισμένος, ȣ̓χ' οἷος τ' ἂν εἴη ἔξω πάσης ἀπάτης ἑαυτὸν ποιῆσαι, σαφὲς ἦν (688). Πλὴν εἴ τις, καὶ αὐτὴν τὴν σύςασιν τῆς τῶν ἀνθρώπων Φύσεως διασκέψαιτο, παρὰ ταύτην τὴν γενικωτέραν, ἢ ἄλλας ἂν εὕροι ἀπάτης αἰτίας μερικωτέρας ἀριθμὸν νικώσας, κατά γε τὸ διάφορον τῶν ἐν ἀνθρώποις κλίσεών τε καὶ περιςάσεων. Μία ἡ πρὸς τὸ ἀληθὲς ἄγȣσα ὁδὸς, μυρίαι δὲ αἱ ἐπὶ τὴν ἀπάτην Φέρȣσαι εἰσίν.

§ 732. Ἀναγκαῖον ȣ̓̃ν περὶ αἰτίων ἀπάτης, ἔςιν ἄττα προτάξαι, πρὶν ἢ τὴν μέθοδον ἀναπτύξαι ἐπιχειρῆσαι, ᾗ τὸ διανοητικὸν διιθύνεται, πρὸς θήραν ἀληθείας διεξαγόμενον. Συμφέρει γὰρ τῷ πορείαν ἡντιναȣ̓̃ν ἀναβαλλομένῳ, τὰ ἀπαντήσοντα χαλεπὰ προειδέναι, ἃ ἂν ἐκκλίνοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

§ 733. Τί τοίνυν ἐστὶν ἡ ἀπάτη σαφῶς προελήφθη· (448. 472. 474. 475.) λόγῳ δὲ φιλοσοφικωτέρῳ, καὶ μᾶλλον ἀφῃρημένῳ ἐξαπατώμεθα, ὁσάκις συγκατανεύομεν ἐναργοῦς προλήψεως μὴ παρούσης, ἢ περί τινός τι καταφάσκοντες, περὶ οὗ οὔπω σαφὴς ὑπῆρχεν ὡς ἐνῆν αὐτῷ.

§ 734. Καὶ γὰρ καὶ εἰ ἐν τοῖς τοιούτοις τις ἐπέτυχε τοῦ ἀληθοῦς, τὸ τῆς ἐπιτυχίας οὐκ αὐτῷ ἀναγραπτέον. Οὐδὲν γὰρ ἧττον ἐντὸς τῆς εἰς ἀπάτην φερούσης τὸν πόδα ἔθετο. καὶ προσέχων ῥαδίως γνώσεται, ὅτι τὸ ἀβέβαιον ὡς βέβαιον εἵλετο. Τὸ δὲ ἀβέβαιον ἀληθεύειν οὐδὲν ἀδύνατον.

§ 735. Ἅπασαν αἰτίαν ἀπάτης ἐπ' ἀκριβὲς καταλέξαι οὐχ' οἷόντε. Διὸ τὰς κυριωτέρας δοκούσας, συντόμως, καὶ ἐν τάξει ἀριθμεῖν πειράσομαι.

§ 736. Οὐ μὴν τὰ εἰρημένα ἐπαναλήψομαι. Πρὸ πάντων δὲ καὶ τοῦτο δώσω, πλείστας συμβαίνειν τοῦ ἀληθοῦς παρεκτροπὰς, τὰς μὴ πολλήν τινα ἐπὶ τῶν κατὰ τὸν βίον πράξεων ἐχούσας ῥοπὴν, φυλακτέον γεμὴν, μὴ τούτου γε χάριν τῆς δεούσης προσοχῆς ἀμελοίημεν, τοῦ πᾶσαν ὡς οἷόν τε ἀπάτην ἐκκλίνειν. Ἡ γὰρ αὐτὴ αἰτία ἡ ἐπὶ τὰς κουφοτέρας ἀπάτας παραγαγοῦσα, φανερὸν ὅτι καὶ ἐπὶ τὰς βαρυτέρας δυνήσεται.

§ 737. Τίς γάρ ποτε τὰς τῶν ἀπατῶν ἀκολουθίας προϊδεῖν ἂν ἔχοι; Οὐδὲν δήπου μέγα

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Δ.Ε.Ν.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δοκεῖ, ὅ,τι ἂν περὶ τῶν ἐρανίων σωμάτων τε καὶ κινήσεων ὁ ὄχλος, φρονοίη. Ἀλλὰ γὰρ ὅσας ἐ διήγειραν ταραχάς τε καὶ στάσεις, ἔν τε στρατοῖς, κἀν ὅλοις ἔθνεσιν, εἴτε κομῆται, καὶ αἱ τῶν φωστήρων ἐκλείψεις;

§ 738. Κατὰ γένος ἄρα εἰς εἴδη τινά, τὴν ἀπάτην ἐκτάξω, καὶ ταῦτα αὖθις εἰς εἴδη κατωτέρω ὄντα ὑποδιαιρήσω, περὶ ὧν ἕκαστα, βραχέ' ἄττα ἐπιθεωρήσω.

§ 739. Ἀναχθεῖεν δ' ἂν τὸ τῆς ἀπάτης, εἰς τὰ ἐφεξῆς κεφάλαια.

Α. Τὸ ἐκ τῆς τοῦ λέγοντος Αὐθεντείας.

Β. Τὸ ἐκ τῆς τοῦ σώματος συστάσεως. ἐν ᾧ καὶ περὶ παθῶν.

Γ. Τὸ ἐκ τῆς ἀλαζονίας καὶ τοῦ τύφου.

Δ. Τὸ ἐκ τοῦ ὄκνου καὶ τῆς ῥαθυμίας.

Ε. Τὸ ἐκ τῆς συγχύσεως τῶν ἰδεῶν.

Ϛ. Τὸ ἐκ τῆς ἀνάγκης τοῦ μεταξὺ τῶν δοξασμάτων ἔντι ἐλέσθαι.

Ζ. Τὸ ἐξ αὐτῶν τῶν διανοήσεων, ἃς δὴ μάλιστα οἱ Διαλεκτικοὶ ἀπάτας εἰς μερικώτερα κεφάλαια ἀνήγαγον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

# Περὶ τῆς ἐκ τῆς Ἀυθεντέιας τῦ λέγοντος Ἀπάτης.

§ 740. Φύσει πως οἱ παρ᾽ ἑαυτῶν ἀνακρίνειν, τὸ περὶ ὗ ἡ σκέψις, δεξιῶς μὴ ἔχοντες, τοῖς ἄλλοις πιςεύϩσι.

§ 741. Πλὴν ἐν αὐτῷ γε τέτῳ, τὴν γῦν αὐθεντείαν, ἔδει τὲς τοιέτϩς ἀνακρίνειν, τῶν οἷς πειθαρχῦσιν.

§ 742. Τὶ δὲ, εἰ μηδὲ τοσῦτον ἰχύϩσιν; Οὐδὲν λοιπὸν, ἢ τῇ πρώτως ἐπιϩσῃ πείθεσθαι αὐθεντείᾳ. Καὶ ἐκ τύχης ἄρα μόνον ἐκφύγοι ἂν τὴν ἀπάτην, ὁ ἀγνωῶν, πότερον ἀμφιγνοητέον ἢ μή;

§ 743. Ἐν τοιᾷδε πᾶν βρέφος ἐςὶ καταςάσει, τοῖς δὲ ἰδίᾳ καὶ τῦτο παροπηδεῖ, ὅτι τὰς ἑαυτῶν πράξεις τῇ τῶν ἄλλων ὑποτάσσειν ὁδηγίᾳ καταναγκάζονται. Ἐπεὶ δὲ διακρίνειν ὐχ οἷοιτε τὴν κατὰ τὸ πράττειν ὑποταγὴν, τῆς κατὰ το φρονεῖν καὶ ὑπολαμβάνειν, αὐτῷ ἐκείνῳ καὶ τὰς ἐννοίας καθυποβάλλϩσιν, ᾧ τὰς πράξεις αὐτῶν διεξάγειν μόνας ἐπιτέτραπται.

§ 744. Τῆς δ᾽ αὐθεντείας ὕτω, ὡς μόνϩ πίςεως κανόνος, συγχωρηθέντος, παντί πϩ λόγῳ, ὃς ἂν τῷ προηγησαμένῳ μὴ ἀντιφάσκοι, ἑαυτὲς καθυπάγϩσιν.

§ 745. Διὰ δὴ τῦτο ἀληθῆ οἱ παῖδες πάντα νομίζϩσιν, ἅττ᾽ ἂν παρὰ πατέρων καὶ διε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Φ. τμ. φ.π.ψ. ΙΩΑΝΝΙΝΑ 2006

δασκάλων ἢ τῶν παραπλησίων παραδέξαιντο. Αὕτη γὰρ αὐτοῖς ἡ αὐθεντεία παντὸς ἄλλε ἐςὶ κρατίςερον.

§ 746. Παρὰ ταῦτα, ἢ πᾶσι πιςεύεσιν, ἃ ἂν ἀκέσωσιν (744), εἰ μὴ ταῦτα ἀντιφάσκοντα εἴη, τοῖς ἐκ προηγησαμένης αὐθεντείας παραδεχθεῖσιν.

§ 747. Καὶ ὑπενδοιάζεσι μὲν πολλάκις, ἀλλὰ κατ' αὐτὸ τῇ αὐθεντείᾳ ὑπείκεσιν. Ἀκηκόασι γὰρ τέτοις παραπλήσι ἄττα μυθάρια περὶ τῶν πραγμάτων συνεχῶς αὐτοῖς προβαλλόμενα.

§ 748. Διὰ πολλῦ τοίνυν χρόνε ἑτέρῳ χρῆσθαι κανόνι ἐ δύνανται. Ἀλλ' ὅσοι δὴ ἢ εἰς γῆρας ἀφικνέμενοι εἰσὶν, οἷς ἐδ' ἐπῆλθεν ὅλως ὑπονοῆσαι ποτὲ, μὴ τὴν ἀρίςην εἶναι ταύτην ὁδὸν, τὴν ἐπὶ τὴν γνῶσιν τῶν ὄντων φέρεσαν;

§ 749. Ἡλικιωθεὶς ἔν ὁ παῖς, ὥςε ἢ τῷ παρ' ἑαυτῷ λόγῳ προχρῆσθαι ἄρχεσθαι, πλείςας ἤδη φέρει ἰδέας ἐκποριςάμενος κατὰ βραχύ. Ἀλλ' ἐν ταύταις, τίς ἂν ἐξαριθμήσειε τὰς ἀπάτας ὅσαι; ἢ πῶς αὐτὸς το βέβαιον ἀπὸ τῦ μὴ βεβαίε διακρῖναι δυνήσεται; Δυχερὲς λίαν ἐςὶν ἀνθρώπῳ, ὡς ψευδὲς ὑποπτεύειν, ὃ διὰ μακρῦ τῦ χρόνε ἐν τοῖς ἀληθεύεσιν ἔταξεν (216).

§ 750. Κρίνειν ἡ ψυχὴ τὸ τηνικαῦτα, μᾶλλον ἑδραίως ἄρχεται. τὰ μέν τοι ἐκ τῶν προ-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΙΩΝ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Χ.Α.Δ.Ε. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λήψεων ἐπιφερόμενα συμπεράσματα, αὐτῶν ἐκείνων εἶναι κρατίςερα οὐ δύναται.

§ 751. Ἑκάςῳ τοίνυν σπουδαςέον, τῶν τοιούτων ἀπατηλῶν ὑπολήψεων ἀπαλλαχθῆναι. τοῖς γεμὴν ἀδυνάτως ἔχουσιν οὐκ ἐπιχειρητέον. Ἀπορίαν τινὰ καθόλου ταύτην ἀσπάσασθαι περὶ πάντων ὡς πάντα ἐν τάξει τὰ κατὰ τὸν νοῦν ἐκπεριελθοῦν ὄντα, ἀμήχανον, καὶ ὑπὲρ ἄνθρωπον.

§ 752. Παρὰ ταῦτα δὲ, καίτοι πολλὰ τῶν ἐν νηπιότητι παραδεχθέντων ἀβέβαια ἐςὶν, ἀλλ᾽ οὐχὶ πάντα. διὸ οὐδὲ τῇ ψυχῇ, τοῦ τῆς αὐθεντείας ἤδη ἀπαλλαγείσῃ ζυγοῦ, ἀντὶ ψευδῶν ὑποληπτέον, ὅσα τῇ δόξῃ προείληφε.

§ 753. Οὐκ ἐν ἀκαρεῖ δὲ ἡ ψυχὴ εἰς τοῦτο ἥκει κρίσεως καὶ δυνάμεως. Ἀλλὰ κατὰ βραχὺ, ἀρχὴν μὲν περὶ ἐλάσσονά τινα, εἶτα δὲ καὶ περὶ τὰ πλείω, καθ᾽ ἑαυτὴν διορίζεσθαι δύναται, ὥςε τέως μηδὲν αὐτῇ ὕποπτον ὑπολείπεσθαι.

§ 754. Ἄλις οὖν ἕξει, ἐὰν προσέχῃ τις, ὅπῃ ἂν παρῇ περί τινος διάσκεψιν ποιήσασθαι, τὰς ἀρχὰς ἀνακρίνειν, ἐξ ὧν τὰ συμπεράσματα ἐπιφέρεται, καὶ τούτων ἀκριβῶς ἑκάςην ἰδίᾳ ἐν μέρει ζυγοςατεῖν. ὥςε μηδὲν ὅτι μὴ ἐπιφερόμενον εἴη ἐξ ἀρχῶν ἐναργεςάτων, προσίεσθαι.

§ 755. Ἔτι δὲ ἀκούοντες, καὶ ἅπερ ὡς ἀληθῆ δοξάζοντες ἐτυγχάνομεν, ταῦτα ὑπὸ ἄλλων

ΙΩΑΝΝΙΝΑ 2006

ἀντιλέγεσθαι, ἢ γοῦν ἀμφιβάλλεσθαι, ἐρευνᾶν ὀφείλομεν, εἴποτε ἡμῖν ἀνακέκρινται οἱ λόγοι, οἷς ἡ ἡμετέρα δόξα ἀπισχυρίζεται· εἰ μὲν γὰρ, καὶ τοὺς τῆς ἐναντίας δόξης διακριβοῦν δεῖ καὶ ἐξετάζειν, καὶ μηδὲν παραλείπειν, εἰς ὅκεν ἐλευθέραν τῶν πάλαι προλήψεων τὴν ψυχὴν καταστήσαιμεν.

§ 756. Ὁ τοῖσδε τοῖς κανόσιν ἑπόμενος ἐν βραχεῖ τὴν ἐπικαρπίαν τὴν ἐκ τούτου κομίσεται. Ἀναγκαῖον δὲ μετὰ σπουδῆς οὐ τῆς τυχούσης προσέχειν, ὡς οὐ περὶ ῥᾴστου τινὸς ὁ λόγος. Τόγε μὴν ὄφελος εἰς ὑπερβολὴν τὸ ἐπίπονον ὑπερέχει.

§ 757. Τὸ μέντοι τῆς αὐθεντείας ταύτης τυραννικὸν, οὐ συναπολήγει τῇ ἁπαλωτέρᾳ ἡλικίᾳ, διὰ βίου δὲ τὸ κράτος ἑαυτῆς ἐφαπλοῖ.

§ 758. Κατ᾽ ἀρχὰς μὲν, μετὰ τὴν τῶν πατέρων καὶ διδασκάλων αὐθεντείαν, λίαν ἐν ἡμῖν ἰσχύει ἡ τῶν ὑπολήψεων εἰς ταὐτὸ σύνοδος (746). Ἐὰν δὲ καὶ παρὰ τῶν γονέων ᾖ παραδεδεγμένα, ὧν ὁσημέραι προσεμπεδουμένων πυνθανόμεθα, ταῦτα ἑξῆς, ἀνεξαλείπτοις ἐν τῇ ψυχῇ χαρακτῆρσιν ἐγγεγραμμένα ἐναποκείσεται.

§ 759. Διὰ τοῦτο δὴ σπανίως ἀπὸ τῶν κοινῇ δοξαζομένων σπανιώτατα οἱ πλεῖστοι ἀπάγονται, καὶ τὸ καινοπρεπὲς εἶναι δοκοῦν εὐτόνως ἀποκρούονται.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006